πᾶσα λόγων τέχνη
ὡς ἀληθῶς ἀδυνατοῦσι
πρὸς τὰ σὰ θαυμαστὰ κατορθώματα.
Ὡς καλῶς προκαθάρας
καὶ προετοιμάσας σεαυτὸν τοῦ πνεύματος
ἱερὸν δοχεῖον,
ἐν ἀνάγκης καιρῷ ἑτοιμότατος
θεηγόρος ὤφθης,
ὑπὲρ (f. 307) αὐτοῦ καὶ μετὰ τούτου
ὀρθοδόξως βροντήσας ἀπόρρητα.
Ὑπερκείμενον εἶχες
πάσης ὑλικῆς προσπαθείας τὸν ἔνθεον
λογισμόν σου, μάκαρ,
ἐκ παιδὸς καὶ πρὸς ἄρρητον ἔρωτα
τοῦ Θεοῦ καὶ θείων
μεγαλοφρόνως ἐπτερώθης
καὶ ἀγάπης Θεοῦ σκεῦος γέγονας.
Μόνος ὤφθης ἐκ πάντων
τὸν ὑπὲρ τῶν ὅλων ἀγῶνα δεξάμενος
καὶ συχνοὺς κινδύνους
ἀνατλὰς μέχρι τέλους, ἀοίδιμε,
ὑπὲρ εὐσεβείας
καὶ τῶν ὀρθῶν θείων δογμάτων
διελέγχων καινοτόμον ἔκπτωσιν.

Θεοτοκίον.

Νεουργεῖται ἡ κτίσις
πεπαλαιωμένη τῇ κακίᾳ, δέσποινα,
ἐκ σοῦ νέου βρέφους
τοῦ πρὸ αἰώνων Θεοῦ λόγου λάμψαντος,
καὶ ἀεὶ δεικνύεις
χάριτι σῇ νέους ἀθλοῦντας,
ὧν ὁ Μάρκος ὕστατος, πάναγνε.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι, σωτήρ.

Ὁ ποταμὸς τῶν ὀρθῶν
δογμάτων τῆς θείας πίστεως,
ἡ θεόβρυτος πηγὴ
τῶν εὐσεβῶν ῥήσεων,
πέλαγος ἀμέτρητον
τῆς θεολογίας,
ὁ σοφὸς Μάρκος ὑμνείσθω λαμπρῶς.